τὸ ἀπὸ τοῦ ΕΖΗΘ τετραγώνου πυραμὶς ἰσοϋψὴς τῷ κώ-
νῳ· ἡ ἄρα ἀναγραφεῖσα πυραμὶς μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ κώνου· ἐπειδήπερ ἐὰν περιγράψωμεν περὶ
τὸν κύκλον τετράγωνον καὶ ἀπ' αὐτοῦ ἀναστήσωμεν πυ-
ραμίδα ἰσοϋψῆ τῷ κώνῳ, ἡ ἐγγραφεῖσα πυραμὶς
ἥμισύ ἐστι τῆς περιγραφείσης· πρὸς ἀλλήλας γάρ
εἰσιν ὡς αἱ βάσεις· ἐλάττων δὲ ὁ κῶνος τῆς περι-
γραφείσης πυραμίδος. τετμήσθωσαν αἱ ΕΖ ΖΗ ΗΘ
ΘΕ περιφέρειαι δίχα κατὰ τὰ Ο Π Ρ Σ σημεῖα· καὶ ἐπε-
ζεύχθωσαν αἱ ΘΟ ΟΕ ΕΠ ΠΖ ΖΡ ΡΗ ΗΣ ΣΘ· ἕκαστον ἄρα
τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων μεῖζόν ἐστιν ἢ τὸ ἥμι-
συ τοῦ καθ' ἑαυτὸ τμήματος τοῦ κύκλου· ἀναγεγράφθω
ἀφ' ἑκάστου τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ τριγώνων πυ-
ραμὶς ἰσοϋψὴς τῷ κώνῳ· καὶ ἑκάστη ἄρα τῶν ἀνα-
γραφεισῶν πυραμίδων μεῖζόν ἐστιν ἢ τὸ ἥμισυ τοῦ
καθ' ἑαυτὴν τμήματος τοῦ κώνου· τέμνοντες δὴ
τὰς ὑπολειπομένας περιφερείας δίχα καὶ ἐπιζευ-
γνύντες εὐθείας καὶ ἀνιστάντες ἐφ' ἑκάστου τῶν τριγώ-
νων πυραμίδας ἰσοϋψεῖς τῷ κώνῳ καὶ ἀεὶ τοῦτο ποι-
οῦντες, καταλείψομέν τινα ἀποτμήματα τοῦ κώνου
ἃ ἔσται ἐλάσσονα τοῦ Ξ στερεοῦ· λελείφθω καὶ ἔσ-
τω τὰ ἐπὶ τῶν ΘΟΕ ΕΠΖ ΖΡΗ ΗΣΘ· λοιπὴ ἄρα ἡ πυρα-
μὶς ἧς βάσις τὸ ΘΟΕΠΖΡΗΣ πολύγωνον, ὕψος δὲ
τὸ αὐτὸ τῷ κώνῳ, μεῖζόν ἐστι τοῦ Ξ στερεοῦ· ἐγγε-
γράφθω καὶ εἰς τὸν ΑΒΓΔ κύκλον τῷ ΘΟΕΠΖΡΗΣ πο-
λυγώνῳ ὅμοιόν τε καὶ ὁμοίως κείμενον πολύγωνον

τὸ ΔΤΑΥ ΒΦΓΧ· καὶ ἀναγεγράφθω ἐπ' αὐτοῦ πυραμὶς ἰσοϋψὴς
τῷ ΑΛ κώνῳ· ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ
ἀπὸ τῆς ΕΗ, οὕτως τὸ ΔΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς
τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον· ὡς δὲ τὸ ἀπὸ τῆς ΑΓ πρὸς
τὸ ἀπὸ τῆς ΕΗ, οὕτως ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον· καὶ ὡς ἄρα ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ κύ-
λείπ. κλον, οὕτως τὸ ΔΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ
ΖΡΗΣ πολύγωνον· ὡς δὲ ὁ ΑΒΓΔ κύκλος πρὸς τὸν ΕΖΗΘ
κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ στερεόν· ὡς δὲ
τὸ ΔΤΑΥ ΒΦΓΧ πολύγωνον πρὸς τὸ ΘΟΕΠ ΖΡΗΣ πολύ-
γωνον, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ
πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον, κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· καὶ ὡς ἄρα ὁ ΑΛ κῶνος πρὸς τὸ Ξ
στερεόν, οὕτως ἡ πυραμὶς ἧς βάσις μὲν τὸ ΔΤΑΥ ΒΦΓΧ
πολύγωνον, κορυφὴ δὲ τὸ Λ σημεῖον, πρὸς τὴν πυρα-
μίδα ἧς βάσις μὲν τὸ ΘΟΕΠ ΖΡΗΣ πολύγωνον, κορυ-
φὴ δὲ τὸ Ν σημεῖον· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ ΑΛ κῶνος
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα, οὕτως τὸ Ξ στερεὸν
πρὸς τὴν ἐν τῷ ΕΝ κώνῳ πυραμίδα· μείζων δὲ ὁ ΑΛ
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος· μεῖζον ἄρα καὶ τὸ Ξ
στερεὸν τῆς ἐν τῷ ΕΝ κώνῳ πυραμίδος· ἀλλὰ καὶ ἔλασ-
σον, ὅπερ ἄτοπον· οὐκ ἄρα ἐστὶν ὡς ὁ ΑΒΓΔ κύκλος
πρὸς τὸν ΕΖΗΘ κύκλον, οὕτως ὁ ΑΛ κῶνος πρὸς ἔλασ-
σόν τι τοῦ ΕΝ κώνου στερεόν· ὁμοίως δὴ δείξομεν ὅτι
οὐδὲ ἐστὶν ὡς ὁ ΕΖΗΘ κύκλος πρὸς τὸν ΑΒΓΔ κύκλον.

[library stamp]